ἡ πρᾶξις h) καὶ τὸ κῦρος αὐταῖς διὰ λόγων ἐςί. τῶν τοιούτων τινὰ μοὶ δοκεῖς λέγειν καὶ i) τὴν ῥητορικήν. ΓΟΡ. Ἀληθῆ λέγεις. ΣΩ. Ἀλλ' οὔτι τούτων γε οὐδεμίαν οἶμαί σε k) βούλεσθαι ῥητορικὴν καλεῖν· οὐχ ὅτι l) τῷ ῥήματι οὕτως εἶπες, ὅτι ἡ διὰ λόγου τὸ κῦρος ἔχουσα, ῥητορική ἐςιν· καὶ m) ὑπολάβοι ἄν τις, εἰ βούλοιτο δυσχεραίνειν τοῖς λόγοις, τὴν ἀριθμητικὴν ἄρα ῥητορικὴν ὦ Γοργία n), λέγεις; ἀλλ' οὐκ οἶμαί σε οὔτε τὴν ἀριθμητικὴν, οὔτε τὴν γεωμετρίαν, ῥητορικὴν λέγειν. ΓΟΡ. o) Ὀρθῶς γὰρ οἴει, ὦ Σώκρατες, καὶ δικαίως

6 ὑπολαμβάνεις. ΣΩ. Ἴθι νυν a), καὶ σὺ τὴν ἀπόκρισιν ἣν ἠρόμην διαπέρανον. ἐπεὶ γὰρ ἡ ῥητορικὴ τυγχάνει μὲν οὖσα τούτων τὶς τῶν τεχνῶν τῶν τοπολὺ λόγῳ χρω-

h) Verba inde ab vltima nominis πρᾶξις ſyllaba vsque ad Accuſatiuum τὴν ῥητορικὴν deficiebant in Cod. Meerm. charta abrupta.

i) Particulam καὶ ignorabat Cod. Aug. Ficinus: *talem aliquam videris mihi rhetoricam dicere.*

k) Verba τούτων γε οὐδεμίαν οἶμαί σε in Cod. Meerm. etiam non reperiebantur, vt et ſtatim verba ἔχουσα, ῥητορική ἐςτιν· καὶ ὑπολάβοι.

l) H. e. *Non dicam ſ. non premam hoc, quod diſerte ita dixeris.* Vid. Ind. in Ὅτι.

m) Ald. φ ὑπολάβοι, et a Baſ. 1. καὶ abeſt.

n) Cod. vterque ὦ γοργία ῥητορικήν.

o) Nomen Gorgiae in Aldina omiſſum eſſe, monuerunt iam editores Platonis Bipontini.

a) Id. qu. ἴθι δὴ Sect. hac extrema et Sect. 4. et ἴθι νῦν, vt hic Baſ. 2. habet. Vnde ſine accentu edendum curaui. Vid. Thom. Mag. in Νῦν et ibi Lamb. Boſ. add. Ind. h. v.